# Bólos

(Pseudo-Démokritos?)

Testimonia edice FGrH
(Volume-Jacoby-T3a, 263, T)

**T 1** = Diogenés Laertios, Vitae philosophorum IX, 49 (Thrasylos?)
τάττουσι δέ τινες κατ᾽ ἰδίαν ἐκ τῶν Ὑπομνημάτων καὶ ταῦτα· Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων· Περὶ τῶν ἐν Μερόηι· Ὠκεανοῦ περίπλους· Περὶ ἱστορίης· Χαλδαικὸς λόγος· Φρύγιος λόγος· Περὶ πυρετοῦ καὶ τῶν ἀπὸ νόσου βησσόντων· Νομικὰ αἴτια· Χερνικὰ (?) ἢ προβλήματα. τὰ ἄλλα δ᾽ ὅσα τινὲς ἀναφέρουσιν εἰς αὐτὸν τὰ μὲν ἐκ τῶν αὐτοῦ διεσκεύασται, τὰ δὲ ὁμολογουμένως ἐστὶν ἀλλότρια.

**T 2** = Diogenés Laertios, Vitae philosophorum IX, 34
οὗτος μάγων τινῶν διήκουσε καὶ Χαλδαίων, Ξέρξου τοῦ βασιλέως τῶι πατρὶ αὐτοῦ ἐπιστάτας καταλιπόντος ἡνίκα ἐξενίσθη παρ᾽ αὐτῶι, καθά φησι καὶ Ἡρόδοτος· παρ᾽ ὧν τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν ἔτι παῖς ὤν.

**T 3a** = Diogenés Laertios, Vitae philosophorum IX, 35
φησὶ δὲ Δημήτριος ἐν Ὁμωνύμοις (IV) καὶ Ἀντισθένης ἐν Διαδοχαῖς (III B) ἀποδημῆσαι αὐτὸν καὶ εἰς Αἴγυπτον πρὸς τοὺς ἱερέας γεωμετρίαν μαθησόμενον, καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα, καὶ εἰς τὴν Ἐρυθρὰν θάλασσαν γενέσθαι· τοῖς τε Γυμνοσοφισταῖς φασί τινες συμμῖξαι αὐτὸν ἐν Ἰνδίαι, καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν.

**T 3b** = Suidás, Lexicon s.v. Δημόκριτος
.... μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου, ὡς δέ τινες καὶ μάγων καὶ Χαλδαίων Περσῶν. ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους, καὶ τὰ παρ᾽ ἑκάστοις ἐπαιδεύθη σοφά.

**T 3c** = Aelianus Claudius, Varia historia IV, 20
ἧκεν οὖν πρὸς τοὺς Χαλδαίους καὶ εἰς Βαβυλῶνα καὶ πρὸς τοὺς μάγους καὶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν.

**T 3d** = Hippolytos, Refut. I, 13
πολλοῖς συμβαλὼν γυμνοσοφισταῖς ἐν Ἰνδοῖς καὶ ἱερεῦσιν ἐν Αἰγύπτωι καὶ ἀστρολόγοις καὶ ἐν Βαβυλῶνι μάγοις.

**T 4** = Plinius, Natur. histor. XXV, 12
primus enim omnium, quos memoria novit, Orpheus (F 319 Kern) de herbis curiosius aliqua prodidit. post eum Musaeus et Hesiodus polium herbam in quantum mirati sint diximus (21, 44; 145); Orpheus et Hesiodus suffitiones commendavere; (13) Homerus et alias nominatim herbas celebrat, quas suis locis dicemus. ab eo Pythagoras clarus sapientia primus volumen de effectu earum composuit, Apollini Aesculapio et in totum dis immortalibus inventione et origine adsignata, composuit et Democritus, ambo peragratis Persidis Arabiae Aethiopiae Aegypti magis; adeoque ad haec attonita antiquitas fuit, ut adfirmaverit etiam incredibilia dictu.

**T 5** = Columella, De re rustica VII, 5, 17
sed Aegyptiae gentis auctor memorabilis Bolus Mendesius (IV), cuius commenta quae apellantur Graece Χειρόκμητα sub nomine Democriti falso produntur ....